# ΠΑΡΑΚΛΗΣΙΣ ΚΑΙ ΚΔ΄ ΟΙΚΟΙ
## ΕΙΣ ΤΟΥΣ ΠΑΜΜΕΓΙΣΤΟΥΣ ΤΑΞΙΑΡΧΑΣ
# ΜΙΧΑΗΛ ΚΑΙ ΓΑΒΡΙΗΛ
## ΚΑΙ ΠΑΝΤΩΝ ΤΩΝ Α·Υ·ΛΩΝ ΟΥΡΑΝΙΩΝ ΔΥΝΑΜΕΩΝ

Ἐκδίδεται χάριν εὐλαβείας
ὑπὸ τοῦ Αἰδεσιμωτάτου καὶ Πνευματικοῦ Πατρὸς
ΓΕΩΡΓΙΟΥ Α. ΒΟΥΤΕΡΗ
Ἱερέως καὶ ἐφημερίου τοῦ Ναοῦ Ὁσίου Μελετίου.

---

Ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ Πνεύματα καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα. — Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον.

Αἰνεῖτε τὸ ὄνομα Κυρίου. Αἰνεῖτε δοῦλοι τὸν Κύριον.

***Προσετέθησαν εἰς τοὺς Ταξιάρχας: Πολυέλεος, Λειτουργικά, Ἀπόστολος Εὐαγγέλιον καὶ ὁμιλία, πρὸς εὐκολίαν τῶν φιλοθρήσκων ἀδελφῶν.***

Ἀναγινώσκονται ἑκάστην Δευτέραν, μὴ ἑορταζομένου Ἁγίου.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΓΙΩΡΓΗ ΠΑΠΑΣΤΡΑΤΟΥ

Μεγαλυνάριον

Μιχαὴλ Ἀρχάγγελε τοῦ Χριστοῦ, μὴν ἔλθῃς ὡς λέων, ἀγριώτατος ἐπ᾽ ἐμέ, μηδὲ τὴν ψυχήν μου ἁρπάσῃς ὡς στρουθίον, ἐν ὥρᾳ τοῦ θανάτου σύ με βοήθησον.

ΑΘΗΝΑΙ 1925.

7 Νοεμβρίου. Τῶν Ἁγίων 33 Μαρκύρων καὶ τοῦ Ὁσίου Πατρὸς ἡμῶν Λαζάρου. Ἀπολ. τῶν Μαρτύρων. Ἦχος Δ'. Οἱ Μάρτυρές σου Κύριε.

Τοῦ Ὁσίου. Ἦχος πλ. Δ'.

Ταῖς ἀγρύπνοις προσευχαῖς ἐν ὀχετοῖς δακρύων τὸν στύλον κατέβρεχες, καὶ τοῖς ἐκ βάθους στεναγμοῖς, εἰς ἑκατὸν τοὺς πόνους ἐκαρποφόρησας, καὶ γέγονας ποιμήν, τοῖς προσιοῦσι νέμων συγχώρησιν, Ὅσιε Πατὴρ ἡμῶν Λάζαρε· πρέσβευε Χριστῷ τῷ Θεῷ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον τῶν Μαρτύρων. Ἦχος Δ'. Ὁ ὑψωθείς.

Χορὸς Μαρτύρων τηλαυγὴς καὶ φωσφόρος, ἐξανατείλας νοητῶς κατεφαίδρυνε τὴν Ἐκκλησίαν σήμερον θαυμάτων βολαῖς· ὅθεν ἑορτάζοντες τὴν σεπτὴν αὐτῶν μνήμην, αἰτοῦμέν σε Σωτὴρ ἡμῶν. Ταῖς αὐτῶν ἱκεσίαις ἐκ τῶν κινδύνων λύτρωσαι ἡμᾶς ὡς ἐλεήμων Θεὸς καὶ φιλάνθρωπος.

Κοντάκιον τοῦ Ὁσίου Λαζάρου. Ἦχος πλ. Δ'.

Τῇ ὑπερμάχῳ.

Τοὺς ὑπὲρ φύσιν σου σοφὲ πόνους καὶ σκώμματα αὐτοὶ οἱ Ἄγγελοι ἰδόντες κατεπλάγησαν, δι' ὧν εἴληφας θεόθεν καὶ τοὺς στεφάνους. Ἀλλ' ὡς ἔχων παρρησίαν πρὸς Κύριον, ἐκ παντοίων ἡμᾶς σῶζε περιστάσεων, ἵνα κράζωμεν. Χαίροις Πάτερ ποιμὴν ἡμῶν.

Μεγαλυνάριον.

Δεῦτε εὐφημήσωμεν οἱ πιστοί, τοὺς ἄθλους Λαζάρου, οὓς ἐδόξασεν ὁ Θεὸς ἐν τῇ μεταστάσει, διὰ τῆς αὐτοῦ παρουσίας, Ἀγγέλων καὶ Ἁγίων, ὃν μεγαλύνομεν.



# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

***Εἰς τοὺς Ἀρχαγγέλους καὶ Ἀρχιστρατήγους***

## ΜΙΧΑΗΛ ΚΑΙ ΓΑΒΡΙΗΛ

***Ὑπὸ τοῦ Ἀργυρουπόλεως Σεραφείμ.***

Μετὰ τόν, Εὐλογητόν, τό, Κύριε εἰσάκουσον. Εἶτα τό, Θεὸς Κύριος, καὶ τὸ τροπάριον. Ἦχος Δ'. Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ.

Τοὺς προστάτας οὐσιῶν τῶν ἀΰλων, καὶ καταυγάζοντας φωτὶ πᾶσαν Κτίσιν, τῆς Τρισηλίου δόξης καὶ Θεότητος, ἅπαντες τιμήσωμεν, Ἀρχαγγέλους τοὺς θείους πρὸς αὐτοὺς κραυγάζοντες ἐν τεθλιμμένῃ, ὦ Ταξιάρχαι ἀΰλων Οὐσιῶν, πάσης ἡμᾶς περιστάσεως ῥύσασθε.

Δόξα. Καὶ νῦν. Θεοτοκίον. Τῇ Θεοτόκῳ.... Ὁ Ν'. καὶ ὁ κανών. Ἦχος πλ. Δ' ἔχων Ἀκροστοιχίδα κατ' ἀλφάβητον. Ὠδὴ Α'. Ὑγρὰν διοδεύσας.

Ἁγίων Ἀγγέλων ὡς ἀρχηγοί, καὶ τῆς θεοπτίας ἀπολαύοντες τηλαυγῶς, τὸν Ἀγαθοδότην καὶ Σωτῆρα ὑπὲρ ἡμῶν καθικετεύσατε.

Ἀπαύστως δοξάζουσί σε πιστῶς Ἀσωμάτων δῆμοι, ἐνηδόμενοι κάλλει σῷ, καὶ τῇ ἀκορέστῳ αἴγλῃ, Σῶτερ· αὐτῶν πρεσβείαις ἡμᾶς κατοικτείρησον. Δόξα Πατρί.

Βιαίοις κρατούμενοι πειρασμοῖς, ὑμῖν ὡς προστάταις καταφεύγομεν οἱ πιστοί· Ἀρχάγγελοι θεῖοι, τὸν Δεσπότην νῦν ἐκτενῶς ἐκδυσωπήσατε.

Θεοτοκίον.

Γενοῦ μοι Παρθένε, καταφυγή, λιμήν τε καὶ τεῖχος καὶ προστάτις, ἡ τὸν Θεὸν ἐν σαρκὶ τεκοῦσα, Θεομῆτορ, τὸν λυτρωτὴν καὶ Πανοικείρμονα.

Ὠδὴ Γ΄. Οὐρανίας ἁψίδος. Ἄγγελον τοῦ Χριστοῦ

Δωρεαῖς πολυτρόποις, Ἀγγελικῶν τάξεων, οἷα Ταξιάρχαι κοσμούμενοι, Ἀρχιστράτηγοι, καθωραΐσατε, τὰς τοῦ Χριστοῦ Ἐκκλησίας, θεϊκαῖς λαμπρότησι, ταῖς προστασίαις ὑμῶν.

Δωρεᾶς με ἁγίας, ὡς συμπαθεῖς Ἄγγελοι, νῦν καταξιῶσαι τὸν εὐσυμπάθητον δυσωπήσατε τρόπους ἀσπλάχνους γὰρ καὶ μοχθηροὺς κεκτημένον, μετανοίας τρόποις με ἀνακαλέσατε. Δόξα.

Εὐδοκίας ἐν ὅπλῳ τὸ τῶν Πιστῶν πλήρωμα, δόξης Οὐρανίου τῷ κάλλει νῦν στεφανούμενοι, ἐκ περιστάσεως, ὡς εὐκλεεῖς παραστάται τοῦ Θεοῦ, λυτρώσασθε, θεῖοι Ἀρχάγγελοι. Θεοτοκίον.

Ζωῆς τῆς ἀκηράτου θεία σκηνὴ γέγονας, μόνη ἐξ αἰῶνος φανεῖσα, Παρθενομῆτορ, Ἁγνή· διὸ Πανάμωμε τὸν ἐν σκιᾷ τοῦ θανάτου, πρὸς ζωὴν ὁδήγησον νῦν με, πρεσβείαις σου.

Ὠδὴ Δ΄. Εἰσακήκοα Κύριε.

Ἡ Δυὰς ἡ πρωτεύουσα τῆς τῶν Ἀρχαγγέλων νῦν ὁμηγύρεως, τοὺς προστρέχοντας, τῇ σκέπῃ σου, ἐκ παντὸς κινδύνου ἐλευθέρωσον.

Θεωροὶ τῆς λαμπρότητος τῆς Θεαρχικῆς καὶ



Ἀγαθοδότιδος, Ἀρχηστράτηγοι, ὑπάρχοντες, δούλους τοὺς ὑμῶν δεινῶν λυτρώσασθε. Δόξα.

Ἱεραῖς ἐν δεήσεσιν εὕροιμι ὑμᾶς συλήπτορας, Ἄγγελοι, τὴν ψυχήν μου ἐνισχύοντας, καὶ τὸν λογισμόν μου καταυγάζοντας. Θεοτοκίον.

Ἱερῶς σε δοξάζουσι τὰ τῶν Ἀσωμάτων θεῖα στρατεύματα. Θεομῆτορ Παγκράτε· τὸν γὰρ Κτίστην τούτων ἀπεκύησας.

ᾨδὴ Ε΄. Φώτισον ἡμᾶς.

Κύκλῳ τοῦ Θεοῦ παρεστῶτες, Ἀρχηστράτηγοι, καὶ ταῖς ἐκεῖθεν πηγαζούσαις αὐγαῖς λελαμπρυσμένοι, τοὺς ὑμῶν οἰκέτας διασώσατε.

Λύτρωσιν ἡμῖν δωρηθῆναι ἱκετεύσατε, Δεσπότην καὶ Θεὸν ἡμῶν, ὡς παραστάται τῆς βροτῶν ἀπολυτρώσεως.

Μύστας τῆς σεπτῆς καὶ ἀῤῥήτου, Σῶτερ δόξης σου, τοὺς Ἀρχιστρατήγους ὑπέστησας· τοὺς σοὺς οὖν δούλους δι᾽ αὐτῶν νῦν διαφύλαξον. Θεοτοκίον.

Μύρον μυστικὸν ὀνομάζομέν σε, Πάναγνε, ὡς γεννήσασα Θεὸν ἐν σαρκί, τὸν τὰ εὐώδη ἀναβρύοντα χαρίσματα.

ᾨδὴ ΣΤ΄. Τὴν δέησίν μου . . .

Νῦν θρόνῳ τῷ φοβερῷ παρίστασθαι ἀκλινῶς ἀξιωθέντες, Θεόπται, καὶ τοῦ φωτὸς τῆς Ἁγίας Τριάδος ἐπαπολαύειν πρεσβεύσατε Ἄγγελοι, ῥυσθῆναι ἐκ τῶν πειρασμῶν, τοὺς τῇ σκέπῃ ὑμῶν καταφεύγοντας.

ΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑΣΤ

Ξηράνατε τῶν παθῶν σηπεδόνα, καὶ τῶν νόσων κοπάσατε τὸν σάλον· σὺν τούτοις δέ, ὦ Ἀρχάγγελοι θεῖοι, καὶ τὰ τῆς Πίστεως σκάνδαλα παύσατε, καὶ ῥύσασθε, πάντας ὑμᾶς, ταῖς λιταῖς ὑμῶν, πάσης αἱρέσεως.

Οἱ ἅγιοι Ταξιάρχαι Ἀγγέλων, παρεστῶτες εἰσαεὶ τῇ Τριάδι, καὶ τῶν φρικτῶν καὶ ἀῤῥήτων αὐτόπται, ὡς ὄντες, πάντας, Ἀρχάγγελοι, ῥύσασθε, κινδύνων τε καὶ πειρασμῶν, ταῖς ὑμῶν ἱκεσίαις δεόμεθα. Θεοτοκίον.

Ὁ ἔμψυχος τοῦ Σωτῆρος θάλαμος, ὁ λαμπραῖς τῆς Παρθενίας ἀκτίσι, φωτοειδῶς ὥσπερ κρῖνος ἐκλάμπων, τῆς ἀκανθώδους ἐν μέσῳ συγχύσεως, ἡ Πάναγνος καὶ εὐπρεπής, Θεοτόκος Παρθένος δοξάζεται.

Πρὸς τὸ Διάσωσον . . .

Ἐκ νόσων καὶ ἐκ παντοίων κινδύνων ῥύσασθε Ταξιάρχαι τοὺς πιστῶς τελοῦντας ἡμῶν τὴν σύναξιν, ὡς φύλακες ὀρθοδόξων καὶ προστάται.

***Εἰς τοὺς Ἀρχαγγέλους Μιχαὴλ καὶ Γαβριὴλ***

Καὶ Θεοτοκίον. Ἄχραντε

Ὁ Ἱερεὺς μνημονεύει· εἶτα τὸ Κοντάκιον Ἦχος Β΄.

Ἀρχιστράτηγοι Θεοῦ, Λειτουργοὶ θείας δόξης, τῶν ἀνθρώπων ὁδηγοὶ καὶ Ἀρχηγοὶ Ἀσωμάτων, τὸ συμφέρον ὑμῖν πρεσβεύσατε, καὶ τὸ μέγα ἔλεος, ὡς τῶν Ἀσωμάτων Ἀρχιστράτηγοι.



Καὶ εὐθὺς τὸ Προκείμενον ἦχος δ΄.

Ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ Πνεύματα καὶ τοὺς Λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα.

Στίχος, Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον.

Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Λουκᾶν. Σελ. 23.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· ὁ ἀκούων ὑμῶν ἐμοῦ ἀκούει.

Δόξα. Ταῖς τῶν Ἀσωμάτων, Οἰκτίρμον, προστασίαις . . .

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου πρεσβείαις . . .

Στίχος. Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός . . .

Καὶ τὸ παρὸν Προσόμοιον.

Ἦχος Πλ. β΄. Ὅλην ἀποθέμενοι.

Παύσατε τὴν ἔφοδον, ὦ Πρωτοστάται Ἀγγέλων, Μιχαὴλ θαυμάσιε, Γαβριὴλ θειότατε, τῶν αἱρέσεων, καὶ ταχὺ σώσατε ἐκ νόσων παντοίων, καὶ τὸν σάλον διαιρέσεων καταπραΰνατε, καὶ κινδύνων ῥύσασθαι καὶ τῶν θλίψεων, λιταῖς ὑμῶν, Ἀρχάγγελοι, πάντας τοὺς ὑμᾶς ἀναμέλποντας, καὶ τῇ θείᾳ σκέπῃ ὑμῶν προσφεύγοντας εὐλαβῶς καὶ τῶν δεινῶν τῆς κολάσεως, θεῖοι Νόες, σώσατε.

Τό, Σῶσον ὁ Θεὸς τὸν Λαόν Σου, κτλ.

ᾠδὴ Ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας . . .

Πολυποίκιλον χάριν, Ἀρχιστράτηγοι θεῖοι, ὑμῖν δεδώρηται ὁ πάντων εὐεργέτης, οὗ νῦν τὴν ἐκκλησίαν διασώσατε ψάλλουσαν ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ῥώμῃ τοῦ Παντεπόπτου δυναμούμενοι, πάντα

τῆς γῆς τὰ πέρατα, τρανῶς περισκοπεῖτε καὶ πάντας τοὺς ἐν πίστει περισώζετε ψάλλοντας· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Σὺν Ἀΰλοις Ἀγγέλοις τῶν Πιστῶν αἱ χορεῖαι δεῦτε τιμήσωμεν, τὴν αἴσιον ἡμέραν τῆς μνήμης ἐκτελοῦντες τῶν Θεοῦ Ἀρχαγγέλων πιστῶς, καὶ ἐκβοῶντες, αὐτοῖς ῥύσασθε ἡμᾶς νόσων.

Θεοτοκίον.

Σωτηρίας λιμένα, Θεοτόκε Παρθένε, σὲ νῦν γνωρίζοντες, τοῦ βίου τοὺς κινδύνους ἐκφεύγομεν καὶ ζάλας, τῷ Υἱῷ σου κραυγάζοντες· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ Η΄. Τὸν Βασιλέα Ἀρχάγγελον τοῦ Χριστοῦ.

Τοὺς παραστάτας ὑμνῳδοὺς τῆς ἀφράστου Ἀρχαγγέλους δόξης σου προσδέχου, σὲ νῦν δυσωποῦντας, ὑπὲρ ἡμῶν, Παντάναξ.

Ὕμνους ἀπαύστως, ὦ Ἀρχάγγελοι θεῖοι, τῷ Θεῷ προσφέροντες τῶν ὅλων, μέμνησθε τῶν πίστει ὑμᾶς ὑμνολογούντων.

Φῶτα, ὦ θεῖοι Ἀρχιστράτηγοι, ὄντες τῆς θεότητος, παρακαλοῦμεν πάντας, φωτὸς Οὐρανίου ἐμπλήσατε καὶ δόξης. Θεοτοκίον.

Φαεινοτάταις σου ἀστραπαῖς, Θεομῆτορ, τοὺς πιστῶς εἰδότας σε φαιδρύνεις τὴν τιμιωτέραν τῶν Οὐρανίων Νόων.

Ὠδὴ Θ΄. Κυρίως Θεοτόκον.

Χορείας Ἀσωμάτους, νῦν τὴν Ἐκκλησίαν, δι᾽



ἀρετῆς μιμουμένην σὺ λάμπρυνον, περιτειχίζων, Παντάταξ, αὐτὴν Ἀγγέλοις σου.

Ψυχῶν τὴν σωτηρίαν, Θεοῦ ταξιάρχαι, πᾶσαν ἡμῖν τοῖς τιμῶσι δωρήσασθε, τὴν φαιδροτάτην ὑμῶν καὶ θείαν πανήγυριν.

Ὡς φύλακας τοῦ Κόσμου καὶ τῶν Ὀρθοδόξων, Ἀρχιστράτηγοι θείων δυνάμεων, ῥύσασθε νόσων ἡμᾶς καὶ κακώσεων. Θεοτοκίον.

Ὡς λυκαυγές ὡς ὄρθος πᾶσι τοῖς ἐν σκότει ἐξανατείλασα. Ἄχραντε, πρέβευε Χριστῷ φωτίσαι τοὺς πίστει ἀεὶ ὑμνοῦντάς σε.

Τό Ἄξιόν ἐστιν, καὶ τὰ παρόντα Μεγαλυνάρια.

Σκέπε, φρούρει, φύλαττε σαῖς λιταῖς Ἀρχάγγελε θεῖε, Ἀστραπόμορφε Μιχαήλ, τοὺς πίστει σε τιμῶντας καὶ γεραίροντας πόθῳ, ὡς πρῶτον τῶν Ἀγγέλων καὶ Ἀρχιστράτηγον.

Σὺ πάρεσο προστάτης πᾶσιν ἡμῖν, ἐν παντὶ τῷ βίῳ καὶ ἐν ὥρᾳ τῇ φοβερᾷ τοῦ πικροῦ θανάτου, βοήθει θεῖε Νόε, Ἀρχάγγελε Κυρίου Μιχαὴλ ἀξιΰμνητε

Ξυνωρὶς ἀοίδιμε, καὶ Δυὰς ἄϋλε καὶ θεία, διασώσατε τοὺς πιστῶς, ὑμᾶς εὐφημοῦντας, ἐκ παντοίων κινδύνων, Ἀρχάγγελοι Κυρίου Μιχαὴλ καὶ Γαβριήλ.

Ἀρχάγγελοι, Ἄγγελοι καὶ Ἀρχαί, Δυνάμεις καὶ Θρόνοι, Κυριότητες, Σεραφείμ, Σεπταὶ ἐξου-

σίαι καὶ Χερουβεὶμ οἱ θεῖοι, ὑπὲρ ἡμῶν τὸν Κτίστην καθικετεύσατε.

Τὴν ὑψηλοτέραν τῶν Οὐρανῶν καὶ καθαρωτέραν λαμπηδόνων ἡλιακῶν, τὴν λυτρωσαμένην ἡμᾶς ἐκ τῆς κατάρας, τὴν Δέσποιναν τοῦ Κόσμου ὕμνοις τιμήσωμεν.

Τὸ Τρισάγιον. Καὶ τὸ Ἀπολυτίκιον. Ἦχος Δ'.

Τῶν Οὐρανίων στρατιῶν Ἀρχιστράτηγοι, δυσωποῦμεν....

Ὁ Ἱερεὺς μνημονεύει.

Ἐν τῇ ἀπολύσει ψάλλωμεν τὸ παρὸν ἦχος β'.

Ὅτε ἐκ τοῦ ξύλου σὲ νεκρόν...

Δεῦτε ἐν ᾠδαῖς πνευματικαῖς. Νόων Ἀσωμάτων τῶν θείων Ἀρχιστρατήγους κλεινούς, πόθῳ ἀνυμνήσωμεν πρὸς αὐτοὺς λέγοντες· Μιχαὴλ ὑπερένδοξε καὶ Γαβριὴλ θεῖε, σώσατε, Πανάγιοι, τοὺς Ὀρθοδόξους ἡμᾶς, νόσων τε παθῶν καὶ κινδύνων ταῖς λιταῖς ἡμῶν, θεῖοι Νόες, καὶ πρὸς τρίβους σωτηρίας ὁδηγήσατε,

## ΟΙΚΟΙ ΕΙΚΟΣΙΤΕΣΣΑΡΕΣ
## ΕΙΣ ΤΟΥΣ ΠΑΜΜΕΓΙΣΤΟΥΣ ΤΑΞΙΑΡΧΑΣ (*)

Κοντάκιον, τῇ Ὑπερμάχῳ.

Τοὺς Ἀρχαγγέλους τῆς Τριάδος εὐφημήσωμεν. Τὸν Μιχαὴλ καὶ Γαβριὴλ πάντες φιλέορτοι.

(*) Α' Προσκυνητάριον Μονῆς Δοχειαρίου, ἐν Βουκουρεστίῳ 1843,



Οἱ σκεπτόμενοι τοῖς πτέρυξιν ἀμφοτέρων, καὶ δεινῶν παντοδαπῶν ἀπολυτρούμενοι, τῷ μὲν κράζοντες· χαῖρε νόμου διάκονε· τῷ δὲ λέγοντες· χαῖρε χάριτος Ἄγγελε.

Ἄγγελος ταγματάρχης τῶν ἀΰλων Ἀγγέλων ἐκτίσθης πρὸς Θεοῦ παιταιτίου, ἐν σιγῇ νοερᾷ, Μιχαήλ, φωτὸς ἐκ τοῦ πρώτου, φῶς ὄντως δεύτερον, δι ὃ σοι ἀγαλλόμενος, ἐφύμνια φωνῶ τοιαῦτα. Χαῖρε νοὸς κοσμογόνου κτίσμα, χαῖρε, φωτὸς πρωτοφύτου χῦμα, χαῖρε, παραστάτα θεότητος πύρινε, χαῖρε τῆς Τριάδος λειτουργὲ ἀκάματε, χαῖρε, πνεῦμα θεοίκελον. ἄϋλον περιφλεγές, χαῖρε, ζῷον τὸ ἀθάνατον Θεοῦ ὑμνολογικόν, χαῖρε, τοῦ ἐμπυρίνου οὐρανοῦ προστατεύων, χαῖρε τοῦ διακόσμου νοητοῦ ὁ ἐξάρχων, χαῖρε, φωστὴρ εὐγνωμόνων τάξεων, χαῖρε, φωστὴρ ἀχαρίστου πνεύματος, χαῖρε δι' οὗ ἡ φύσις Ἀγγέλων ἔστη, χαῖρε, δι' οὗ ὁ σατὰν κατεβλήθη, χαῖρε νόμε διάκονε.

Βλέπων τοὺς ἀχαρίστους ἐπαρθέντας Ἀγγέλους, καὶ πίπτοντας ἐκ τοῦ ἐμπυρίνου οὐρανοῦ, ὦ θεῖε Μιχαήλ, ὡς εὐγνώμων δοῦλος στὰς ἀνεβόησας. Στῶμεν καλῶς, καὶ πρόσχωμεν, ᾄδοντες τῇ Τριάδι ὕμνον. Ἀλληλούϊα

Γνώσεων ἀποκρύφων, καὶ βουλῶν τοῦ Ὑψίστου ἐφάνης Γαβριήλ, μυστηπόλος τῶν μελλόντων πρόγνωσιν δηλῶν, καὶ χαρᾶς εὐαγγέλια εἰσηγού-

μενος βροτοῖς, δι' ὃ ἐπείγομαι τοιάδε κελαδεῖν σοι πόθῳ.

Χαῖρε φωτὸς ἀγνώστου δίοπτρα· χαῖρε, Θεοῦ μυστηρίων μύστα· χαῖρε, ἀποκρύφων βουλῶν τηλεσκόπιον, χαῖρε, τῶν ἀῤῥήτων Θεοῦ μυστήριον, χαῖρε γνῶσιν κρυφιόμυστον ἐλλαμπόμενος νοΐ, χαῖρε, ταύτην ὁ μυούμενος τοὺς ἀνθρώπους ἐν φωτί, χαῖρε εὐαγγελίων θείων ὁ ὑπηρέτης, χαῖρε, χαροπαρόχων πραγμάτων ὁ ὑποφήτης. χαῖρε, πολλῶν ἀδήλων ἡ δήλωσις, χαῖρε συχνῶν μελλόντων ἡ πρόγνωσις, χαῖρε, δι' οὗ ἡ χαρὰ εἰσῳκίσθη, χαῖρε δι' οὗ λύπη ἐξῳκίσθη.

Χαῖρε χάριτος Ἄγγελε.

Δανιὴλ τῷ Προφήτῃ, ὑπὲρ πάντας Προφήτας ἐδήλωσας μυστήριον ξένον ἐλεύσεως Χριστοῦ τῆς φρικτῆς καὶ οἰκονομίας Γαβριὴλ μέγιστε, καὶ τοῦτον ἐσυνέτισας Θεῷ σὺν εὐθυμίᾳ ψάλλειν.

Ἀλληλούϊα

Ἔχων ἐπωνυμίαν, Μιχαὴλ θεῖε νόε, δυνάμεως Θεοῦ, ἀνεδείχθης δυνατὸς ἐν πολέμοις ἀεί, καὶ Ἰακὼβ ἐν τῇ πάλῃ ἐνίσχυσας, νικῶν ἔθνη ἀλλόφυλα· δι' ὃ σου δύναμιν γεραίρω.

Χαῖρε, πυρὸς δραστήριε μᾶλλον, χαῖρε φλογὸς ὀξύτερος πέλων, χαῖρε Αἰγυπτίων ποντίσας στρατεύματα, χαῖρε, Χαναναίων τροπώσας συστήματα, χαῖρε ὅτι ἐδυνάμωσας Μωϋσῆν καὶ Ἀαρών, χαῖρε, ὅτι ἐνεθάρρυνας Ἰησοῦν τὸν τοῦ Ναυῆ, χαῖρε,



τῶν Ἀσσυρίων στρατιὰν ὁ συγκόψας, χαῖρε, τῶν Ἀμορραίων τὸν Σιὼν ὁ πατάξας, χαῖρε τοῦ Ὢγ τῆς Βασὰν ἀναίρεσις, χαῖρε νεκροῦ Μωσέως ἡ λύτρωσις, χαῖρε δι' οὗ ἀσεβεῖς ἐκπορθοῦνται, χαῖρε δι' οὗ εὐσεβεῖς ἀνυψοῦνται.

Χαῖρε νόμου διάκονε.

Ζῆν ἡμᾶς ἐναρέτως Μιχαὴλ Ἀγγελάρχα, δυσώπησον Θεὸν σαῖς πρεσβείαις, τοὺς τὴν σύνταξίν σου τὴν σεπτὴν ἐκ πόθου τελοῦντας, καὶ καταξίωσον, ζωῆς τυχόντας κρείτονος, σὺν σοὶ Θεῷ τὸν ὕμνον ψάλλειν. Ἀλληλούια

Ἦλθες ἐκ τοῦ Ὑψίστου, Γαβριὴλ θεῖε νόε, χαρᾶς εὐαγγέλια, φέρων πρὸς τὴν Ἄνναν καὶ Ἰωακείμ, καὶ λύων τὴν τούτων ἄγονον στείρωσιν· δι' ὅσαι εὐφραινόμενοι ἐκ πίστεως ἀναβοῶμεν.

Χαιρε καλῶν ἀγγελιοφόρε, χαῖρε στειρῶν χαρὰ τεκνοφόρε, χαῖρε, τῶν ἀκάρπων θεόσδοτος κάρπωσις, χαῖρε τῶν ἀτέκνων θεάρεστος τέκνωσις, χαῖρε, ὅτι τῷ θεοπάτορι γόνον ἤνεγκας σεπτόν, χαῖρε, ὅτι τῇ θεοπρομήτορι γαστρὸς δέδωκας καρπόν, χαῖρε τῆς ἀπαιδείας τὰ δεσμὰ διαλύων, χαῖρε τῶν γενομένων τὴν χάριν προμηνύων, χαῖρε, πολλῶν πατέρων ἡ καύχησις, χαῖρε, καλῶν μητέρων παράκλησις, χαῖρε, δι' οὗ βροτῶν αὔξεται γένος, χαῖρε δι' οὗ προαγγέλεται γόνος.

Χαῖρε χάριτος Ἄγγελε·

Θεοτόκου Μαρίας τῆς τοῦ κόσμου κυρίας ἐλ-

ΤΡΙΑΝΤΑΦΥΛΛΙΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΑ...

θούσης ἐν ναῷ τοῦ Κυρίου, ἀπεστάλης, σύ, ὦ Γαβριήλ, κομίζων προθύμως τροφὴν οὐράνιον, καὶ διεγείρων πάντοτε ταύτην Θεῷ κραυγάζειν οὕτως.

Ἀλληλούϊα.

Ἱκέτας γενομένους τῷ Θεῷ, ταξιάρχα, προπάτορας τοὺς πάλαι ἐρρύσω ἐκ πολλῶν ὦ Μιχαήλ, καὶ τοῦ Ἰουδαίου λαοῦ γεγένησε ἀεὶ προπορευόμενος· δι' ὃ σοὶ προσφωνῶ τοιαῦτα.

Χαῖρε, σφαγῆς Ἰσαὰκ λυτρώσας, χαῖρε χαρᾶς Ἀβραὰμ πληρώσας, χαῖρε τοῦ διψῶντος Ἰσραὴλ ἡ ἀνάψυξις, χαῖρε, τῆς κλαιούσης Ἄγαρ ξένη παράκλησις, χαῖρε στύλος ὁ περίμορφος ὁδηγῶν τὸν Ἰσραήλ, χαῖρε νέφος χρυσοσύνθετον τοῦτον σκέπον ἐν ὁδῷ, χαῖρε ὁ διασώσας πρωτότοκα Ἑβραίων, χαῖρε, ὁ ἀποκτείνας πρωτότοκα Αἰγύπτου, χαῖρε λαμπρὸν Ἰουδαίων καύχημα, χαῖρε, στεῤῥὸν τοῦ νόμου περίφραγμα, χαῖρε λαὸν ἐξ Αἰγύπτου ἐξάξας, χαῖρε εἰς γῆν καλὴν τοῦτον εἰσάξας. Χαῖρε νόμου διάκονε.

Καταβὰς ἐν τῷ ὄρει τῷ Σινᾶ Θεὸς μέγας, καὶ μέλλων νόμον δοῦναι Ἑβραίοις, διὰ διακονίας τῆς σῆς καὶ διὰ μεσιτείας, Μιχαήλ, μέγιστε, τοῦτον Μωσῇ λελάληκε καὶ ἐδίδαξεν μέλπειν οὕτως.

Ἀλληλούϊα.

Λύτρωσον ἐξαιτοῦντι καὶ λαοῦ σωτηρίαν ποτὲ τῷ ἱερῷ Ζαχαρίᾳ ἐν ναῷ Θεοῦ, ὦ Γαβριήλ, ἐμή-



νησας θείου Προδρόμου γέννησιν, δι' ὃ σου ἐξιστάμενος τὰ εὐαγγέλια κραυγάζω.

Χαῖρε βροτῶν, μείζονα μηνύσας, χαῖρε, πατρὸς τὸν Ἄγγελον δείξας, χαῖρε Ζαχαρίου τερπνότατον λάλημα, χαῖρε, Ἐλισάβετ γλυκύτατον ἄκουσμα, χαῖρε ὅτι εὐηγγέλισας τὸν βαπτιστὴν τοῦ Χριστοῦ, χαῖρε, ὅτι προκατήγγειλας τὸν δεύτερον Ἠλιοῦ, χαῖρε, τῆς μετανοίας τοῦ κήρυκος ὁ κῆρυξ, χαῖρε φωτὸς τοῦ λύχνου ἡ πανεύηχος σάλπιγξ, χαῖρε, ἀρχῆς τῆς χάριτος φώνημα, χαῖρε αὐγῆς ἡμέρας τὸ μήνυμα, χαῖρε βαλβὶς τῆς βροτῶν σωτηρίας, χαῖρε, κρηπὶς οὐρανῶν βασιλείας. Χαῖρε χάριτος Ἄγγελε.

Μέλλων ὁ Θεὸς λόγος δι' ἡμᾶς σαρκωθῆναι, σοὶ μόνῳ τὸ μυστήριον τοῦτο ἐνεθάρρυσεν, ὦ Γαβριήλ, καὶ σὲ ὑπηρέτην τούτου προέκρινε, τὸ θαῦμα λογιζόμενον καθ' ἑαυτόν. καὶ ψάλλοντας οὕτως. Ἀλληλούϊα.

Νεανίας τρεῖς πάλαι ἐκ φλογὸς τῆς καμίνου ἐρρύσω, Μιχαὴλ ταγματάρχα ἐν αὐτῇ φανεὶς διαπρεπής, τῷ εἴδει λαμπρός τε καὶ θεοείκυλος, ὡς ἐξίστασθε τύραννον τῷ θαύματι· δι' ὃ βοῶ σοι.

Χαῖρε, πυρὸς ἀκαμάτου σβέσις, χαῖρε, φλογὸς ἀειζώου ψύξις, χαῖρε τῶν παρθένων παίδων ἀπολύτρωσις, χαῖρε τῶν ἀσπίλων σωμάτων ἡ φύλαξις, χαῖρε ὅτι ἐξέπληξας τὸν τύραννον σῇ μορφῇ, χαῖρε, ὅτι σὺ ἐνίσχυσας τὸν προφήτην Δανιήλ,

χαῖρε, ὁ τὸν προφήτην Ἀβακοὺμ ἐξαρπάσας, χαῖρε, εἰς Βαβυλῶνα τοῦτον ταχυκομίσας, χαῖρε, στεῤῥὸν Γεδεὼν ἐκνίκημα, χαῖρε, λαμπρὸν τοῦ Μαδιὰμ ἥττημα, χαῖρε δι' οὗ βασιλεῖς δυναμοῦνται, χαῖρε δι' οὗ τύραννοι ἐκπτοοῦνται.

Χαῖρε νόμου διάκονε.

Ξένον θαῦμα ἰδόντες, Βαλαάμ τε ὁ μάντις, καὶ ὕστερον Δαβὶδ ὁ προφήτης, σὲ ὦ θεῖε Μιχαήλ, ταχέως πεσόντες σὲ προσεκύνησαν· ὁ μὲν φόβῳ δεσμούμενος, ὁ δὲ Θεῷ κραυγάζων οὕτως.

Ἀλληλούϊα.

Ὅλος ἀστραπηφόρος, ὅλος ἠγλαϊσμένος, καὶ ὅλος χαριέστατος ἦλθες πρὸς τὴν κεχαριτωμένην Γαβριήλ, τῆς χαρᾶς κομίσων τὰ εὐαγγέλια· δι' ὃ σου καὶ γαννύμενος χαιρετισμῷ σε χαιρετίζω.

Χαῖρε χαρᾶς ἀλήκτου ὁ κῆρυξ, χαῖρε ἀρᾶς τῆς πάλαι ὁ πέλυξ, χαῖρε πεπτωκότος Ἀδὰμ ἡ ἀνόρθωσις, χαῖρε ἀθυμίας τῆς Εὔας παράκλησις, χαῖρε, λόγου ἐνσαρκώσεως ὑφηγόρε ἑρμηνεῦ, χαῖρε Θεοῦ καταβάσεως ἔνδοξε μυσταγωγέ, χαῖρε, ὁ χαίρων χαῖρε χαριτωθείσῃ λέξας· χαῖρε ὁ λύπην πᾶσαν τῇ χαῖρε διαλύσας· χαῖρε ἀστὴρ μηνύσας τὸν ἥλιον, χαῖρε φωστὴρ φῶς δείξας ἀπρόσιτον· χαῖρε δι' οὗ ὁ κόσμος ἐφωτίσθη· χαῖρε δι' οὗ τὸ σκότος ἠφανίσθη.

Χαῖρε χάριτος Ἄγγελε.

Ποιμέσιν ἀγραυλοῦσι γέννησιν τοῦ Σωτῆρος



ἐμήνυσας, Γαβριήλ, χαίρων· καὶ τοὺς μάγους, ὡς ἀστὴρ λαμπρός, ὡδήγησας τούτους εἰς τὴν προσκύνησιν, καὶ πάντας ἐσυνέτησας τῷ γεννηθέντι κράζων οὕτως·

Ἀλληλούϊα.

Ρωμαλέος προστάτης τῆς νέας διαθήκης ἐδείχθης, Μιχαὴλ φαεσφόρε, καὶ λαοῦ πιστῶν χριστιανῶν ὑπέρμαχος μέγας γνωρίζῃ πάντοτε, δεινῶν πολλῶν λυτρούμενος καὶ συγκινῶν αὐτοὺς βοᾷν σοι.

Χαῖρε, λαοῦ τοῦ νέου τὸ τεῖχος· χαῖρε ἐθνῶν χριστωνύμων σθένος· χαῖρε, Ἀποστόλους πολλάκις ῥωσάμενος· χαῖρε, ἀθλοφόρους στεῤῥοὺς ἐργασάμενος· χαῖρε, ὅτι Πέτρον ἔσωσας ἐκ δεσμῶν καὶ φυλακῆς· χαῖρε, ὅτι σὺ ἀπέκτεινας τὸν Ἡρώδην παρευθύς· χαῖρε, τῆς ἐκκλησίας ἀπρόσμαχητος φύλαξ· χαῖρε, αἱρετιζόντων ὁ ἀμφίτομος πέλυξ· χαῖρε, στερεὸν ὁσίων ἐνίσχυμα· χαῖρε, λαμπρῶν ἱεραρχῶν ἔρεισμα· χαῖρε, δι' οὗ ἡ πίστις ἐφαπλοῦται· χαῖρε, δι' οὗ ἡ πλάνη ἐκμειοῦται.

Χαῖρε νόμου διάκονε.

Συντελείας τοῦ κόσμου, Μιχαήλ, γενομένης, σάλπιγγα τὴν ἐσχάτην σαλπίσεις, ὑφ' ἧς οἱ νεκροὶ ἀπὸ γῆς ἐγερθέντες, φόβῳ παρασταθήσονται τῷ ἀδεκάστῳ βήματι, κράζοντες μετὰ σοῦ τὸν ὕμνον.

Ἀλληλούϊα.

Τάξεώς σου τὸ ὕψος ὄνομα σὸν ἐμφαίνει σαφῶς, ὦ Γαβριήλ, φωτοφόρε, θεανθρώπου γὰρ κλῆσιν

ΛΑΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΝΕΣΤΟΡΟΣ ΠΑΠΑ

πλουτῶν, εἰκότως καὶ θεανθρώπου δέδειξε λόγου λειτουργὸς ἄξιος· δι' ὅ σε καὶ γεραίρω ὕμνοις.

Χαῖρε, δι' οὗ μνήστωρ ἐμνήσθη· χαῖρε δι' οὗ κόρη παρελήφθη· χαῖρε, ὁ καλέσας Ἰησοῦ τὸ ὄνομα· χαῖρε, ὁ μηνύσας τῷ κόσμῳ σωτήρια· χαῖρε, ὅτι ἐχρημάτισας τῷ μνήστορι Ἰωσήφ· χαῖρε, ὅτι ἐφυγάδευσας εἰς Αἴγυπτον Ἰησοῦν· χαῖρε, ὁ ἐξ Αἰγύπτου Χριστὸν ἀνακαλέσας· χαῖρε, Ναζαρὲτ πόλιν οἰκῆσαι ὁ μηνύσας· χαῖρε, πιστοὺς μάγους μυησάμενος· χαῖρε, αὐτοὺς Ἡρώδου ῥυσάμενος· χαῖρε δι' οὗ Ἰησοῦς διεσώθη· χαῖρε, δι' οὗ Ἡρώδης ἐνεπαίχθη.

Χαῖρε χάριτος Ἄγγελε.

Ὕπερθεν θείου λίθου τοῦ ζωοδόχου τάφου καθήμενος Γαβριήλ, λευχείμων καὶ λάμπων ὡσεὶ ἀστραπή. Χριστοῦ τὴν ἀνάστασιν εὐηγγέλισας ταῖς γυναιξί. Μὴ κλαίετε, βοῶν αὐταῖς καὶ ἆξων ὕμνον. Ἀλληλούϊα.

Φῶς τοῦ κόσμου ὑπάρχεις, Μιχαὴλ στρατάρχα αὐγάζων τῶν πιστῶν διανοίας καὶ πρὸς θείαν γνῶσιν ὁδηγῶν, καὶ πρὸς σωτηρίαν φωτίζων ἅπαντας, κακίας τοῦ ἀλάστορος ῥυόμενος αὐτοὺς βοῶντας.

Χαῖρε, πιστῶν προστασία ἁπάντων· χαῖρε, πηγὴ ποικίλων θαυμάτων· χαῖρε, τῶν νοσούντων ἀδάπανος ἴασις· χαῖρε, αἰχμαλώτων ταχεῖα ἀνάρρυσις· χαῖρε, ὅτι ἐπροστάτευσας Δοχειαρίου μο-



νῆς· χαῖρε, ὅτι ταύτην ἔσωσας Σαρακηνῶν τῆς ὁρμῆς· χαῖρε, τοῦ βυθισθέντος λύτρωσις νεανίου· χαῖρε, τοῦ κεκρυμμένου φανέρωσις χρυσίου· χαῖρε, πηγὴν βλύσας ἁγιάσματος· χαῖρε, τελῶν θαύματα δι' ὕδατος· χαῖρε, ναοῦ Δοχειαρίου θεῖε κοσμήτωρ· χαῖρε, μονῆς ταύτης ὁ ἀντιλήπτωρ.

Χαῖρε νόμου διάκονε.

Χάριν θείαν χαρίζου, Μιχαήλ, τοῖς τελοῦσι τὴν σύναξιν τὴν σὴν μετὰ πόθου, καὶ ἐν τῇ ἐξόδῳ τῆς ζωῆς σὲ καλοῦσι βοηθὸς φάνηθι, καὶ ἐξαιρέτως φύλαξον τοὺς ἐν τῇ μονῇ σου ταύτῃ ἐκβοῶντας. Ἀλληλούϊα

Ψάλλειν παναρμονίως τῇ Θεοῦ ἐνσαρκώσει τερπνὰς δοξολογίας μαθόντες παρὰ σοῦ, ὦ θεῖε Γαβριήλ, σοὶ τὰ χαριστήρια, πόθῳ ψάλλομεν, καὶ σὲ ὡς ἀγαθάγγελον γεραίροντες, οὕτω βοῶμεν. Ἀλληλούϊα.

Χαῖρε, χαρὰ τῶν λελυπημένων· χαῖρε, φρουρὲ τῶν κακουχομένων· χαῖρε, πενομένων ὁ πλοῦτος ὁ ἄσυλος· χαῖρε, τῶν πλεόντων λιμὴν ὁ σωτήριος· χαῖρε, ὅπλον κραταιότατον βασιλέων εὐσεβῶν· χαῖρε, καύχημα περίδοξον Ἱερέων εὐλαβῶν· χαῖρε Δοχειαρίου τῆς μονῆς προστάτης· χαῖρε ὁ πλοίου ταύτης θαυμαστὸς κυβερνήτης· χαῖρε, τῶν σὲ τιμώντων ὑπέρμαχε χαῖρε ψυχῶν νυμφαγωγὲ ἄριστε· χαῖρε, πιστῶν ἐκ Θεοῦ εὐλογία· χαῖρε καλὴ μοναστῶν ὁδηγία. Χαῖρε χάριτος Ἄγγελε.

ʼΩ Ἀρχάγγελοι θεῖοι, Μιχαὴλ, Γαβριὴλ τε οἱ θρόνῳ τοῦ Θεοῦ παρεστῶτες, τὰ ἐφύμνια ταῦτα ἡμῶν, ὡς λεπτὰ τῆς χήρας ἀπεδεξάμενοι, γεέννης ἡμᾶς ῥύσασθε ἵνα σοὶ ἡμῖν ψάλλωμεν.

Ἀλληλούϊα.

Εἶτα πάλιν τὸ κοντάκιον. Ἦχ. Πλ. Δ΄.

Τοὺς ἀρχαγγέλους τῆς Τριάδος εὐφημήσωμεν, τὸν Μιχαὴλ καὶ Γαβριὴλ πάντες φιλέορτοι, οἱ σκεπόμενοι τοῖς πτέρυξιν ἀμφοτέρων. Καὶ δεινῶν παντοδαπῶν ἀπολυτρούμενοι· Τῷ μὲν κράζοντες, Χαῖρε νόμου διάκονε, Τῷ δὲ λέγοντες, χαῖρε χάριτος Ἄγγελε. (Α΄.)

**Ἀντίφωνα εἰς τὴν ἑορτὴν τῶν Ταξιαρχῶν.**

Νοεμβρίου 8

Εὐλογημένος εἶ ὁ Καθήμενος ἐπὶ τῶν Χερουβίμ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου Σῶτερ σῶσον ἡμᾶς.

Εὐλογημένος εἶ ὁ ἐπὶ θρόνου δόξης τῆς Βασιλείας σου.

Εὐλογημένος εἶ ὁ ἐν στερεώματι τοῦ Οὐρανοῦ.

Εὐλογεῖτε Ἄγγελοι Κυρίου τὸν Κύριον ὑμνεῖτε εἰς πάντας τοὺς αἰῶνας.

Ἀντίφωνον Β΄.

Αἰνεῖτε τὸ ὄνομα Κυρίου, αἰνεῖτε δοῦλοι Κύ-

Α΄.) Ἑκάστην Δευτέραν, πρέπει νὰ ἀναγινώσκωνται.



ριον. Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐν Ἁγίοις θαυμαστὸς ψάλλοντάς σοι Ἀλληλούϊα.

Τῷ ποιήσαντι τοὺς Οὐρανοὺς ἐν συνέσει.

Πάντα ὅσα ἠθέλησεν ἐποίησεν ἐν τῷ Οὐρανῷ καὶ ἐν τῇ Γῇ.

Ἐξομολογεῖσθε τῷ Θεῷ τοῦ Οὐρανοῦ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Δόξα Πατρί. Καὶ νῦν. Ὁ Μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ ἀθάνατος ὑπάρχων.

Ἀντίφωνον Γ΄.

Ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ πνεύματα καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα.

Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον, Κύριε ὁ Θεός μου, ἐμεγαλύνθης σφόδρα.

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου Κύριε. Πάντα ἐν σοφίᾳ ἐποίησας.

Ἀντίφωνον Δ΄.

Τῶν Οὐρανίων στρατιῶν Ἀρχιστράτηγοι, δυσωποῦμεν ἡμεῖς, ἡμεῖς οἱ ἀνάξιοι, ἵνα ταῖς ὑμῶν δεήσεσι τειχήσητε ἡμᾶς, σκέπη τῶν πτερύγων τῆς ἀΰλου ὑμῶν δόξης φρουροῦντες ἡμᾶς προσπίπτοντες ἐκτενῶς καὶ βοῶντες, ἐκ τῶν κινδύνων λυτρώσασθε ἡμᾶς ὡς Ταξιάρχαι τῶν ἄνω Δυνάμεων.

Τοῦ Ἁγίου τῆς Μονῆς. Ἦχος βαρύς.

Μετεμορφώθης ἐν τῷ Ὄρει Χριστὲ ὁ Θεός, δείξας τοῖς Μαθηταῖς σου τὴν δόξαν σου καθὼς

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ἠδύναντο· λάμψον καὶ ἡμῖν τοῖς ἁμαρτωλοῖς, τὸ φῶς σου τὸ ἀΐδιον, πρεσβείαις τῆς Θεοτόκου, Φωτοδότα δόξα σοι.

Κοντάκιον τῶν Ταξιαρχῶν. Ἦχ. β΄.

Ἀρχιστράτηγοι, Θεοῦ λειτουργοί, θείας δόξης ὁδηγοὶ Ἀσωμάτων, τὸ συμφέρον ἡμῖν αἰτήσασθε, καὶ τὸ μέγα ἔλεος, ὡς τῶν Ἀσωμάτων Ἀρχιστράτηγοι.

Κοντάκιον τῆς Θεοτόκου τῶν Εἰσοδίων. Ἦχ. Δ΄.

Ὁ καθαρώτατος Ναὸς τοῦ Σωτῆρος, ἡ πολυτίμητος παστὰς καὶ Παρθένος, τὸ ἱερὸν θησαύρισμα τῆς δόξης τοῦ Θεοῦ, χαίρουσα εἰσάγεται ἐν τῷ Οἴκῳ Κυρίου, τὴν χάριν συνεισάγουσα τὴν ἐν Πνεύματι θείῳ, ἣν ἀνυμνοῦσιν Ἄγγελοι Θεοῦ. Αὕτη ὑπάρχει σκηνὴ ἐπουράνιος.

## *Εἰς τὴν Λειτουργίαν.*

Ὁ Ἀπόστολος. Προκείμενον Ἦχ. δ.

Ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ πνεύματα.

Στίχ. Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον.

Πρὸς Ἑβραίους Ἐπιστολὴ Παύλου. Κεφ. Β΄. 2.

Ἀδελφοί, εἰ ὁ δι' Ἀγγέλων λαληθεὶς λόγος ἐγένετο βέβαιος, καὶ πᾶσα παράβασις καὶ παρακοὴ ἔλαβεν ἔνδικον μισθαποδοσίαν, πῶς ἡμεῖς ἐκφευξόμεθα τηλικαύτης ἀμελήσαντες σωτηρίας; ἥτις ἀρχὴν λαβοῦσα λαλεῖσθαι διὰ τοῦ Κυρίου, ὑπὸ τῶν ἀκουσάντων εἰς ἡμᾶς ἐβεβαιώθη· συνεπιμαρτυροῦντος τοῦ Θεοῦ σημείοις τε καὶ τέρασι, καὶ ποικίλαις δυνάμεσι, καὶ Πνεύματος Ἁγίου μερισμοῖς, κατὰ τὴν αὐτοῦ θέλησιν; Οὐ γὰρ Ἀγγέλοις ὑπέταξε τὴν οἰκουμένην τὴν μέλλουσαν, περὶ ἧς λαλοῦμεν. Διεμαρτύρατο δέ που τις, λέγων· Τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ, ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν; ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους· δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτόν, καὶ κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου· πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ. Ἐν γὰρ τῷ ὑποτάξαι αὐτῷ τὰ πάντα, οὐδὲν ἀφῆκεν αὐτῷ ἀνυπότακτον· νῦν δὲ οὔπω ὁρῶμεν αὐτῷ τὰ πάντα ὑποτεταγμένα. Τὸν δὲ βραχύ τι παρ' Ἀγγέλους ἠλαττωμένον, βλέπομεν Ἰησοῦν, διὰ τὸ πάθημα τοῦ θανάτου, δόξῃ καὶ τιμῇ ἐστεφανωμένον· ὅπως χάριτι Θεοῦ ὑπὲρ παντὸς γεύσηται θανάτου. Ἔπρεπε γὰρ αὐτῷ δι' ὃν τὰ πάντα, καὶ δι' οὗ τὰ πάντα, πολλοὺς υἱοὺς εἰς δόξαν ἀγαγόντα, τὸν ἀρχηγὸν τῆς σωτηρίας αὐτῶν διὰ παθημάτων τελειῶσαι.



Ἀλληλούϊα, Ἦχος β΄.

Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν Οὐρανῶν.

Στίχ. Αἰνεῖτε αὐτὸν πάντες οἱ Ἄγγελοι αὐτοῦ.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Λουκᾶν. Κεφ. Ι΄. 16.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Ὁ ἀκούων ὑμῶν ἐμοῦ ἀκούει· καὶ ὁ ἀθετῶν ὑμᾶς,

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ἐμὲ ἀθετεῖ· ὁ δὲ ἐμὲ ἀθετῶν, ἀθετεῖ τὸν ἀποστείλαντά με. Ὑπέστρεψαν δὲ οἱ ἑβδομήκοντα μετὰ χαρᾶς λέγοντες· Κύριε, καὶ τὰ δαιμόνια ὑποτάσσεται ἡμῖν ἐν τῷ ὀνόματί σου. Εἶπε δὲ αὐτοῖς· Ἐθεώρουν δὲ τὸν Σατανᾶν, ὡς ἀστραπὴν ἐκ τοῦ οὐρανοῦ πεσόντα. Ἰδοὺ δίδωμι ὑμῖν τὴν ἐξουσίαν, τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ· καὶ οὐδὲν ὑμᾶς οὐ μὴ ἀδικήσει. Πλὴν ἐν τούτῳ μὴ χαίρετε, ὅτι τὰ πνεύματα ὑμῖν ὑποτάσσεται· χαίρετε δὲ μᾶλλον, ὅτι τὰ ὀνόματα ὑμῶν ἐγράφη ἐν τοῖς οὐρανοῖς. Ἐν αὐτῇ τῇ ὥρᾳ ἠγαλλιάσατο τῷ πνεύματι ὁ Ἰησοῦς καὶ εἶπεν· Ἐξομολογοῦμαί σοι Πάτερ, Κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις· ναί, ὁ Πατήρ, ὅτι οὕτως ἐγένετο εὐδοκία ἔμπροσθέν σου.

## Ο ΠΟΛΥΕΛΕΟΣ ΤΩΝ ΑΡΧΑΓΓΕΛΩΝ

Ψαλῶ σοι. Ἀλληλούϊα.

Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ τῇ καρδίᾳ μου, καὶ ἐναντίον Ἀγγέλων ψαλῶ σοι.

Ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα.

Μὴ δῴης εἰς σάλον τὸν πόδα σου, μηδὲ νυστάξῃ ὁ φυλάσσων σε.



Ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων.
Ἀλληλούϊα.

Εὐλογεῖτε τὸν Κύριον πάντες οἱ Ἄγγελο αὐτοῦ.

Δυνατοὶ ἰσχύϊ ποιοῦντες τὸν λόγον αὐτοῦ.

Εὐλογεῖτε τὸν Κύριον πᾶσαι αἱ δυνάμεις αὐτοῦ, λειτουργοὶ αὐτοῦ οἱ ποιοῦντες τὸ θέλημα αὐτοῦ. Ἀλληλούϊα.

Ὁ καθήμενος Χερουβίμ, σαλευθήτω ἡ γῆ.

Προσκυνήσατε αὐτῷ πάντες οἱ Ἄγγελοι αὐτοῦ.

Ὅτι τοῖς Ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, τοῦ διαφυλάξαι σε ἐν πάσαις ταῖς ὁδοῖς σου.

Ἐπὶ χειρῶν ἀροῦσι σε μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου.

Ὁ καθήμενος ἐπὶ τῶν Χερουβμ, ἐμφάνηθι ἐναντίον Ἐφραῒμ καὶ Βενιαμὶν καὶ Μανασσῆ.

Παρεμβαλεῖ Ἄγγελος Κυρίου κύκλῳ τῶν φοβουμένων αὐτὸν καὶ ῥύσεται αὐτούς.

Τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν.

Καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν.

Καὶ ἐπέβη ἐπὶ Χερουβὶμ καὶ ἐπετάσθη, ἐπετάσθη ἐπὶ πτερύγων ἀνέμων.

Ἠλάττωσας αὐτὸν βραχύ τι παρ' Ἀγγέλους.

Δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτόν. Ἀλληλούϊα.

Ἐξαπέστειλε τὸν Ἄγγελον αὐτοῦ καὶ ἦρέ με ἐκ τῶν προβάτων τοῦ πατρός μου.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον, Κύριε ὁ Θεός μου ἐμεγαλύνθης σφόδρα.

Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Ἀλληλούϊα.

Αἰνεῖτε αὐτὸν πάντες οἱ ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτὸν πᾶσαι αἱ δυνάμεις αὐτοῦ, σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Δόξα πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Τὸν Πατέρα προσκυνήσωμεν, καὶ τὸν Υἱὸν δοξολογήσωμεν καὶ τὸ Πανάγιον ὁμοῦ, πάντες Πνεῦμα ἀνυμνήσωμεν, κράζοντες καὶ λέγοντες· Παναγία Τριὰς σῶσον πάντας ἡμᾶς.

Καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων Ἀμήν.

Τὴν Μητέρα σου προσάγει σοι, εἰς ἱκεσίαν ὁ λαός σου Χριστέ, ταῖς παρακλήσεσιν αὐταῖς τοὺς οἰκτιρμούς σου δὸς ἡμῖν Ἀγαθέ· ἵνα σὲ δοξάζωμεν τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν

Δόξα καὶ νῦν ἀλληλούϊα.

Τὸ Ἄξιον ἐστιν. Καὶ τὰ Μεγαλυνάρια τῶν Ἀρχαγγέλων καὶ τῶν Εἰσοδίων,

Ἀρχάγγελοι καὶ Ἄγγελοι καὶ Ἀρχαὶ Δυνάμεις καὶ Θρόνοι, Κυριότητες Σεραφείμ, σεπταὶ Ἐξουσίαι καὶ Χερουβεὶμ οἱ θεῖοι, ὑπὲρ ἡμῶν τὸν Κτίστην καθικετεύσατε.

Δεῦτε εὐφημήσωμεν οἱ πιστοὶ τοὺς δύο φωστῆρας, τοὺς μεγάλους καὶ φωταυγεῖς Γαβριὴλ τὸν



μέγαν, καὶ Μιχαὴλ τὸν θεῖον, τοὺς δύο Ταξιάρχας τοῦ Παντοκράτορος.

Δεῦτε εὐφημήσωμεν εὐλαβῶς τὴν ἄμωμον Κόρην καὶ τροφὸν τῆς ζωῆς ἡμῶν, τὴν προσαγομένην ἐν τῷ Ναῷ Κυρίου· αὐτῷ ἑτοιμασθῆναι εἰς οἰκητήριον.

Κοινωνικόν. Ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ πνεύματα καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα, εὐλόγει ἡ ψυχή μου τὸν Κύριον. Ἀλληλούϊα.

8 Νοεμβρίου. Ἡ Σύναξις τῶν Ἀρχιστρατήγων Μιχαὴλ καὶ Γαβριὴλ καὶ τῶν λοιπῶν Ἀσωμάτων οὐρανίων ταγμάτων.

Μιχαὴλ ὁ ἐνδοξώτατος καὶ λαμπρότατος ταξιάρχης τῶν Ἀσωμάτων Δυνάμεων πολλὰς εὐεργεσίας καὶ χάριτας φαίνεται ὅτι προσήνεγκεν εἰς τὸ ἀνθρώπινον γένος, τόσον ἐν τῇ Παλαιᾷ ὅσον καὶ ἐν τῇ Νέᾳ Διαθήκῃ, διὰ τοῦτο καὶ ἡμεῖς προστάτην αὐτὸν καὶ φύλακα τῆς ζωῆς ἡμῶν προβαλλόμενοι τὴν πάνσεπτον αὐτοῦ πανήγυριν ἑορτάζομεν, ἡ ὁποία Σύναξις ὀνομάζεται διὰ τὴν ἑξῆς αἰτίαν.

Ὁ ἑωσφόρος, ἀρχηγὸς ἐντὸς τῶν Ἀγγελικῶν ταγμάτων, ἐπαρθεὶς καὶ καυχηθεὶς ὅτι θὰ στήσῃ τὸν θρόνον του ὑπεράνω τοῦ Θεοῦ, παρευθύς, μόνον ὁποῦ ἐσυλλογίσθη αὐτά, ἐξέπεσεν ἀπὸ τὴν οὐράνιον δόξαν καὶ κατῆλθε κάτω εἰς τὴν Ἄβυσσον—καθὼς εἶπεν ἐν Εὐαγγελίοις ὁ Κύριος:

«Ἐθεώρουν τὸν Σατανᾶν ὡς ἀστραπὴν ἐκ τοῦ οὐρανοῦ πεσόντα» ὁμοίως δὲ καὶ τὸ ὑποτασσόμενον εἰς αὐτὸν τάγμα τῶν Ἀγγέλων ἀποσκιρτῆσαν ἐξέπεσε καὶ αὐτὸ μετὰ τοῦ Ἑωσφόρου καὶ ἀπὸ Ἀγγέλους ἔγειναν διάβολοι, σκοτεινοὶ καὶ ζοφεροὶ δαίμονες. Καὶ ἄλλοι μὲν ἐξ αὐτῶν ἔφθασαν ἕως εἰς τὸν Ἅδην, ἄλλοι ἔμειναν ἐπάνω εἰς τὴν γῆν, καὶ ἄλλοι εἰς τὰ νερὰ ἔπεσαν, καὶ ἄλλοι ἔμειναν εἰς τὸν ἀέρα, τὰ ἐναέρια λεγόμενα τελώνια. Τότε λοιπόν, κατὰ τὴν στιγμὴν ἐκείνην ὁποῦ ἐσχίσθησαν οἱ οὐρανοὶ καὶ ἐξέπιπτον οἱ ἀποστατήσαντες Ἄγγελοι ὁ μέγας Ἀρχιστράτηγος Μιχαὴλ βλέπων τὴν ἐλεϊνὴν ἔκπτωσιν ἐκείνων, ἐννόησε τὸ αἴτιον τῆς πτώσεως, καὶ μὲ τὴν ὑποταγὴν καὶ ταπείνωσιν, ὁποῦ ἔδειξεν, ὡς δοῦλος εὐχάριστος καὶ οἰκέτης πιστὸς πρὸς τὸν Δεσπότην αὐτοῦ Θεόν, διεφύλαξε τόσον τὴν ἰδικήν του δόξαν καὶ λαμπρότητα, τὴν παρὰ Θεοῦ χαρισθεῖσαν, ὅσον καὶ τὴν δόξαν τῶν ἄλλων Ἀγγελικῶν ταγμάτων. Ὅθεν διὰ τὴν ὑποταγὴν καὶ εὐγνωμοσύνην του ταύτην διωρίσθη παρὰ τοῦ Θεοῦ Παντοκράτορος πρῶτος τῶν Ἀγγελικῶν τάξεων. Διότι συντάξας καὶ ἑνώσας εἰς ἓν τοὺς χοροὺς τῶν Ἀγγέλων, ἐφώναξεν εἰς αὐτοὺς τὸ Πρόσχωμεν, ἤτοι ἂς προσέξωμεν καὶ ἂς ἐννοήσωμεν τί ἔπαθον οὗτοι οἱ ἐκπεσόντες Δαίμονες διὰ τὴν ὑπερηφάνειάν των. Καὶ οὕτω ἀνύμνησε καὶ ἐδόξασε τὸν τῶν



ἁπάντων Θεὸν ἀναβοήσας βέβαια τὸν θεῖον καὶ ἀγγελικὸν ὕμνον μεθ' ὅλων τῶν Ἀγγέλων: «Ἅγιος, Ἅγιος, Ἅγιος Κύριος Σαβαώθ, πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης αὐτοῦ». Τὸ τοιοῦτον λοιπὸν Μυστήριον ἐξ ἀρχαίας παραδόσεως παραλαβόντες ἡμεῖς τὴν παροῦσαν ἑορτὴν ἑορτάζομεν, Σύναξιν αὐτὴν ὀνομάζοντες τῶν Ἀγγέλων, τουτέστι προσοχὴν ὁμόνοιαν καὶ ἕνωσιν».

Νοεμβρίου 9. τῶν Ἁγίων Μαρτύρων Ὀνησιφόρου καὶ Πορφυρίου, Ὁσίας Ματρώνης καὶ Ὁσίας Θεοκτίστης τῆς Λεσβίας.

Ἀπολ. Οἱ Μάρτυρές σου Κύριε Ἐν σοὶ Μῆτερ ἀκριβῶς Ἁγ. Θεοκτ. Ἦχ. Πλ. Α'.

Τῆς Μεθύμνης τὸν γόνον καὶ θεῖον βλάστημα, καὶ Παρίων τὸ κλέος καὶ τὸ ἐντρύφημα, Θεοκτίστην τὴν Ἁγίαν εὐφημήσωμεν· χαίροις βοῶντες πρὸς αὐτήν, καλλιπάρθενε ἀμνάς, καὶ νύμφη Θεοῦ τοῦ Λόγου, ᾧ καὶ πρεσβεύει ἀδιαλείπτως, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον τῶν Μαρτύρων Ἦχος β'. Τὰ ἄνω ζητῶν

Μαρτύρων δυὰς ἀθλήσαντες στερρότητα, ἐχθροῦ τὴν ὀφρύν, εἰς γῆν κατηδάφισαν, ἐλαμφθέντες χάριτι, τῆς ἀκτίστου Τριάδος οἱ ἔνδοξοι· καὶ νῦν μετὰ Ἀγγέλων, αὐτοὶ πρεσβεύουσιν ἀπαύστως, ὑπὲρ πάντων ἡμῶν.

Τῆς Ὁσίας Ματρώνης ὅμοιον.

Τὸ σῶμα τὸ σὸν νηστείαις κατατήξασα, ἐν μέσῳ

ἀνδρῶν, Ματρῶνα κατοικήσασα, προσευχαῖς σχολάζουσα, τὸν Δεσπότην ἐνθέως ἐθεράπευσας· δι᾽ ὃν πάντα κατέλιπες, ὁσίως τὸν βίον διανύσασα.

Μεγαλυνάριον

Θεοκτίστη μῆτερ τῶν ἀσκουσῶν, νύμφη τοῦ Σωτῆρος, πανακήρατε τοὺς τὴν σὴν μνήμην ἐκτελοῦντας· περίσωζε καὶ σκέπε, δεινῶν πειρατηρίων ταῖς ἱκεσίαις σου.

(*) Κοντάκιον Ἦχ. Γ΄. Ἡ Παρθένος.

Θεοκτίστην ἅπαντες νῦν εὐφημήσωμεν ὕμνοις, τῇ ἀσκήσει γέγονε πεφωτισμένη ὡς ξύλον· ρεύμασι τοῖς τῶν δακρύων ἀρδευσαμένη, ἔβλυσε καρποὺς ἀξίους τῇ ἐγκρατείᾳ διὰ τοῦτο μετετέθη πρὸς ἀοιδίμους καὶ ἀκηράτου μονάς.

10. Τῶν Ἁγίων Ἀποστόλων τῶν 70 Ὀλυμπᾶ, Ροδίωνος, Ἐράστου, Σωσιπάτρου καὶ Κονάρτου, καὶ τοῦ Ἁγίου μάρτυρος Ὀρέστου.

Ἀπολυτ τῶν Ἀποστόλων: Ἀπόστολοι Ἅγιοι, καὶ τοῦ Ἁγίου: Ὁ Μάρτυς σου Κύριε.

Τὸ Κοντάκιον Ἦχος Α΄. Χορὸς ἀγγελικός.

Τριάδος τῆς σεπτῆς, ἐκηρύξατε πίστιν, πολύθεον σοφοί, τῶν εἰδώλων ἀπάτην ἐκ μέσου ποιήσαντες, ταῖς σεπταῖς διδαχαῖς ὑμῶν, ὅθεν εὕρητε, τὴν ἀμοιβὴν τῶν καμάτων αἰωνίζουσαν ἐν οὐρανοῖς, τοὺς στεφάνους λαβόντες Ἀπόστολοι.

---

(*) Ἀκολουθία ἐτυπώθη παρ᾽ ἐμοῦ Γ. Α. Β. ἱερεύς.



Μεγαλυνάριον.

Τὰς εὐήχους σάλπιγγας τοῦ Θεοῦ, νῦν τοὺς Ἀποστόλους, εὐφημήσωμεν οἱ πιστοί, τοὺς τὴν οἰκουμένην διδάξαντες πιστεύειν, τὴν σάρκωσιν τοῦ Λόγου καὶ τὴν Ἀνάστασιν.

11 Νοεμβρίου. Τῶν Ἁγίων μαρτύρων Μηνᾶ, Βίκτωρος καὶ Βικεντίου, τῆς Ἁγίας μάρτυρος Στεφανίδος καὶ Θεοδώρου τοῦ Στουδίτου.

Ἀπολυτίκιον τῶν Μαρτύρων Ἦχος Δ΄.

Τρισάριθμον σύνθημα τῶν ἀθλοφόρων Χριστοῦ, ὑμνήσωμεν ᾄσμασι χαριστηρίους πιστοί, Μηνᾶν τὸν ἀοίδιμον, Βίκτωρα τὸν γενναῖον καὶ Βικέντιον θεῖον, πλάνην τὴν τῶν εἰδώλων, καταργήσαντες πίστει, αὐτῶν ταῖς ἱκεσίαις, Χριστὲ ὁ Θεὸς σῶσον τὰς ψυχὰς ἡμῶν.

Ἀπολ. Ἁγ. Θεοδώρου. Ἦχος Δ΄ Ταχὺ προκατάλαβε.

Ὀρθοδοξίας ὁδηγὲ θεοσεβῶς ἀθλήσεις, ὑπὲρ εἰκόνος Χριστοῦ καὶ τῶν Ἁγίων, θεοπνεύστοις φθόγγοις ᾔσχυνας τοὺς εἰκονομάχους, ὡς φωστὴρ γὰρ οἰκουμένην φωτίζεις ταῖς διδαχαῖς, ὑμνογράφων θεῖον ἐγκαλλώπισμα Θεόδωρε σοφέ, μοναστῶν ἐντρύφημα· πρέσβευε Χριστῷ Πάτερ θεοδόξαστε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον τῶν Μαρτύρων. Ἦχ. Πλ. Δ΄ ὡς ἀπαρχάς.

Ὡς εὐσεβείας Μάρτυρας καὶ ἀθλητὰς θεόφρονας ἡ Ἐκκλησία γεραίρει δοξάζουσα τοὺς θείους ἄθλους σήμερον, Μηνᾶν τὸν ἀθλοφόρον, Βίκτωρα

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

τὸν γενναῖον καὶ Βικέντιον τὸν γενναιόφρονα, καὶ ποθοῦσα κραυγάζει, δοξάζουσα τὸν φιλάνθρωπον.

Κοντάκιον Ἁγ. Θεοδώρου Ἦχος Β'. Τὰ ἄνω ζητῶν.

Τὸν ἀσκητικόν, ἰσάγγελόν τε βίον σου, τοῖς ἀθλητικοῖς ἐφαίδρυνας παλαίσμασι, καὶ Ἀγγέλοις σύσκηνος θεομάκαρ ὤφθης Θεόδωρε, σὺν αὐτοῖς Χριστῷ τῷ Θεῷ, πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

Μεγαλυνάριον.

Θαυμασίων πάντων σε ὁ Χριστός, ἀνέδειξε μάρτυς, καὶ τεράτων ὑπερφυῶν αὐτουργόν· διό σε τοὺς πόθῳ τιμῶντας, παντὸς κινδύνου σῶζε Μηνᾶ πανένδοξε.

Κατάλυσις οἴνου καὶ ἐλαίου Ἀκολ. Ἁγ. Μηνᾶ ἔργον μου 1917 Γ. Α. Β. ἱερεύς.

Νοεμβρίου 12. Τοῦ Ἁγίου Ἰωάννου τοῦ Ἐλεήμονος, τοῦ ὁσίου Νείλου καὶ Νείλου τοῦ Μυροβλήτου.

Κατάλυσις οἴνου καὶ ἐλαίου. Ἀπολ. Ἱεράρχ. ἦχ. πλ. δ'.

Ἐν τῇ ὑπομονῇ σου ἐκτήσω τὸν μισθόν σου Πάτερ Ὅσιε, ταῖς προσευχαῖς ἀδιαλείπτως ἐγκαρτερήσας, τοὺς πτωχοὺς ἀγαπήσας, καὶ τούτους ἐπαρκέσας. Ἀλλὰ πρέσβευε Χριστῷ τῷ Θεῷ, Ἰωάννη Ἐλεήμων μακάριε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἁγίων Νείλων. Ἀπολ. Ἦχ. πλ. Δ'.

Τῶν Ὁσίων τὸ ζεῦγος ἀνευφημήσωμεν, καὶ ὁμοίους τῇ κλήσει φημὶ καὶ χάριτι, τὸν σοφὸν ἐν



ἀσκηταῖς Νεῖλον τὸν ἔνδοξον καὶ τὸν Νεῖλον τὸν κλεινόν, Μυροβλήτην μὲν σαφῶς, ὁ μὲν τὴν τῆς Σιναΐδος, ὁ δὲ τῆς Ἀθηναΐδος, πράξεσι θείοις χθόνα ἡγίασε.

Κοντάκιον τοῦ Ἐλεήμονος. Ἦχ, Β'. Τὰ ἄνω ζητῶν.

Τὸν πλοῦτον τὸν σόν, ἐσκόρπισας τοῖς πένησι, καὶ τῶν οὐρανῶν, τὸν πλοῦτον νῦν ἀπείληφας, Ἰωάννη πάνσοφε· διὰ τοῦτο πάντες σὲ γεραίρομεν, ἐκτελοῦντες τὴν μνήμην σου, τῆς ἐλεημοσύνης, ὦ ἐπώνυμε.

Κοντάκιον τοῦ ἁγίου Νείλου. Ἦχ. πλ. δ'. Τῇ ὑπερμάχῳ.

Τὰς φρυγανώδεις τῶν παθῶν τῶν ἐκ τοῦ σώματος· ἐπαναστήσας τιμητικῶς Νεῖλε μακάριε· ἐν ἀγρύπνῳ σου συνέκοψας ἱκεσίας. Ἀλλ' ὡς ἔχων παρρησίαν πρὸς τὸν Κύριον, ἐκ παντοίων με κινδύνων ἐλευθέρωσον· ἵνα κράζω σοι· Χαίροις Πάτερ παγκόσμιε.

Μεγαλυνάριον.

Τῶν πτωχῶν ὁ ἄγρυπνος ὀφθαλμός, Ἐλεημοσύνης ὁ ἀείρρητος ποταμός ὁ πενήτων σβέσας, ἀπόρων τὸ αὐχμῶδες, ὑμνείσθω Ἰωάννης ὁ συμπαθέστατος.

Νεῖλον τὸν πηγάσαντα ἀληθῶς, νάματα δακρύων καὶ κεράσαντα γλυκασμόν, τὴν σεπτὴν τριάδα, ἐξ ἧς ἀντεκεράσθη τὰ νάματα τῶν μύρων ὕμνοις τιμήσωμεν.

Ὑπάρχει Ἀκολουθία εἰς ἐμέ, ἔκδοσις Ἱερουσαλήμ. Ἄνθη τοῦ Παραδείσου, Γ. Α. Β, Ἱερεύς.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

13 Νοεμβρίου. Τοῦ Ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου. Ἀπολ. Ἦχ. πλ. Δ΄.

Ἡ τοῦ στόματός σου καθάπερ πυρσὸς ἐκλάμψασα χάρις τὴν οἰκουμένην ἐφώτισεν· ἀφιλαργυρίας τῷ κόσμῳ θησαυροὺς ἐναπέθετο· τὸ ὕψος ἡμῖν τῆς ταπεινοφροσύνης ὑπέδειξεν. Ἀλλὰ σοῖς λόγοις παιδεύων, Πάτερ Ἰωάννη Χρυσόστομε, πρέσβευε τῷ Λόγῳ Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον. Ἦχ. πλ. Β΄. Τὴν ὑπὲρ ἡμῶν.

Ἐκ τῶν οὐρανῶν ἐδέξω τὴν θείαν χάριν, καὶ διὰ τῶν σῶν χειλέων πάντας διδάσκεις προσκυνεῖν ἐν Τριάδι τὸν ἕνα Θεόν, Ἰωάννη Χρυσόστομε παμμακάριστε Ὅσιε ἐπαξίως εὐφημοῦμεν σε ὑπάρχεις γὰρ καθηγητής, ὡς τὰ θεῖα σαφῶν.

Μεγαλυνάριον.

Χαίροις ὁ χρυσόρρυθρος ποταμός, ὁ τὴν οἰκουμένην καταρδεύων νάμα χρυσοῦν, χαίροις ὁ τὴν γλῶτταν χρυσοῦς καὶ τὴν καρδίαν· Χρυσόστομε τρισμάκαρ, Πατριαρχῶν ἡ κρηπίς.

28 Μαΐου. Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἀνδρέου τοῦ διὰ Χριστὸν Σαλοῦ. Ἀπολ. Ἦχ. Δ΄.

Μωρίαν ἑκούσιον, διὰ Χριστὸν τὸν Θεόν, ἐπόθησας Ὅσιε, τὸν σοφιστὴν ἀληθῶς, μωράνας καὶ ἤνωσας, μέσον πολλῶν θορύβων, τὸν ἀγῶνα, ὅθεν σε ὁ Δεσπότης, Παραδείσου πρὸς πλάτος, ἐσκήνωσε πρεσβεύειν ὑπὲρ τῶν τιμώντων σε.



Κοντάκιον ἦχος α΄. Χορὸς ἀγγελικὸς

Τὸν βίον εὐσεβῶς ἐκτελέσας θεόφρον, δοχεῖον καθαρόν, τῆς Τριάδος ἐδείχθης, Ἀνδρέα μακάριε, καὶ Ἀγγέλων ὁμόσκηνος, ὅθεν αἴτησαι, τὸν ἱλασμὸν καὶ εἰρήνην, τοῖς τιμῶσι σε καὶ ἐκτελοῦσι σὴν μνήμην δοθῆναι πρεσβείαις σου.

Μεγαλυνάριον

Σοῦ ἡ ὑπὲρ ἄνθρωπον βιοτή, ἐξέπληξε νόας καὶ δαιμόνων τοὺς ζωφερούς, πῶς γυμνὸς Ἀνδρέα, καὶ ἔξηχον τὸν τρόπον λαθὼν ἐπολιτεύσω, διὸ τιμῶμεν σε.

Ἐξ Ἱερουσαλὴμ ἔτος 1912

Δέσποινα καὶ Βασίλισσα τοῦ Οὐρανοῦ καὶ γῆς [Κυρία,
Ὅπου φροντίζεις πάντοτε τῶν ἁμαρτωλῶν τὴν [σωτηρία.
Φρόντισον καὶ ἐμὲ τὸν ἁμαρτωλὸν Γεώργιον [νὰ σώσῃς
Καὶ ἀπὸ τῆς φρικτῆς κολάσεως νὰ μὲ ἐλευθε- [ρώσῃς.
Καὶ δέξου σὲ παρακαλῶ τοὺς ἀναστεναγμούς [μου,
Ὅπου σοῦ προσφέρω ἐκ ψυχῆς, ὡς δοῦλος [ἰδικός σου.

Ἐγράφη τὸ παρὸν φυλλάδιον παρ' ἐμοῦ τοῦ ταπεινοῦ ἱερέως καὶ ἐφημερίου τοῦ Ναοῦ Ὁσίου ελετίου Γεωργίου Α. Βουτέρη κατὰ Φεβρουάριον ῦ ἔτους 1925.

## ΕΥΡΙΣΚΟΝΤΑΙ ΠΑΡ' ΗΜΙΝ ΑΙ ΙΕΡΑΙ ΑΚΟΛΟΥΘΙΑΙ

Τῆς Λαμπρᾶς καὶ ἐνδόξου Μεταμορφώσεως
Τῆς Παναγίας Μυρτιδιωτίσσης Κυθήρων
Τοῦ Ἁγίου Διονυσίου Ἀρχ. Αἰγίνης Ζακύνθου
Τοῦ Ἁγίου ἐνδόξου καὶ Εὐαγγελιστοῦ Λουκᾶ
Τοῦ Ἁγίου ἐνδόξου Μεγαλομάρτυρος Τρύφωνος
Τοῦ Ἁγίου ἐνδόξου Νεομ. Κωνσταντίνου Ὕδρας
Τῆς Ἁγίας ἐνδόξου Μεγ. Φωτεινῆς τῆς Σαμαρείτιδος
Τῆς Ἁγίας ἐνδόξου Μεγαλομ. καὶ Ἰσαποστόλου Μαγδαληνῆς καὶ Ἁγίας Μαρκέλλης
Τοῦ ἁγίου Μεγαλομάρτυρος Εὐσταθίου.
Βίος τοῦ ὁσίου πατρὸς ἡμῶν Μελετίου.
Τοῦ Ἁγίου Ἱερομάρτυρος Πολυκάρπου ἐπ. Σμύρνης
Τῆς Ἁγίας Μητρὸς ἡμῶν Φιλοθέης Ἀθηνῶν
Τοῦ Ἁγίου Ἱερομ. Διονυσίου τοῦ Ἀρεοπαγίτου
Βίοι ὁμοῦ Ἁγίων Ἀναργύρων καὶ Παράκλ. καὶ Βίος τῶν Ἁγίων Ἀκινδύνων. 1 καὶ 2 Ν βρίου ἡ Ἑορτή των.
Ἱεραὶ Καταβασίαι καὶ Μεγαλυνάρια ὅλου τοῦ ἔτους.
Τῆς Ἁγίας Παρασκευῆς 26 Ἰουλίου
Τοῦ Ἁγίου Γεωργίου τοῦ ἐξ Ἰωαννίνων
Τοῦ Ἁγίου Φανουρίου τοῦ Νεοφανοῦς
Τῆς Ἁγίας Μεγαλομάρτυρος Κυριακῆς.
Τοῦ Ἁγίου Ἱερομάρτ. Βλασίου.
Τοῦ Ἁγίου Ἰωάννου Μητροπολ. Θηβῶν.
Παράκλησις καὶ Χαιρετισμοὶ εἰς τὸν Ἅγ. Γεώργιον.
Παράκλησις καὶ Χαιρετισμοὶ εἰς τὸν Δημήτριον.
Παράκλησις καὶ χαιρετισμοὶ εἰς τοὺς πρωτοκορυφαίους Ἀποστόλους Πέτρον καὶ Παῦλον.
Βίοι καὶ Ἀκολουθίαι διαφόρων Ἁγίων.
Καὶ μικρὰ φυλλαδια τῆς Μεταλήψεως, τῶν χαιρετισμῶν τῆς Θεοτόκου, Νεκρώσιμος Ἀκολουθία Ἀκολουθία τῆς Ἱερᾶς Παρακλήσεως, τὰ Ἄνθη τοῦ Παραδείσου ὑπὸ Χαρίτωνος Μοναχοῦ.

**Εὑρίσκονται** παρὰ τῷ Αἰδεσιμωτάτῳ Γεωργίῳ Α. Βουτέρῃ Ἱερεῖ, Ἐφημερίῳ Ὁσίου Μελετίου, Οἰκία του Ὁδὸς Ἁγίου Μελετίου Ἀριθ. 25. Τρὰμ Ἀχαρνῶν - Τέρμα.